eul_wid: jjw-aa

*Θεόγνητος ὁ κωμικός* · Theognetus the Comic Poet

## Fragments on Philosophy and Folly

*Ἀποσπάσματα περὶ Φιλοσοφίας καὶ Μωρίας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine (frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 ἄνθρωπ’, ἀπολεῖς με· τῶν γὰρ ἐκ τῆς
book 1.2 ποικίλης
book 1.3 στοᾶς λογαρίων ἀναπεπλησμένος νοσεῖς· ‘ἀλλότριόν ἐσθ’ ὁ πλοῦτος ἀνθρώπῳ, πάχνη· σοφία δ’ ἴδιον, κρύσταλλος. οὐδεὶς πώποτε[ln_5]ταύτην λαβὼν ἀπώλες’.‘ ὢ τάλας ἐγώ, οἵῳ μ’ ὁ δαίμων
book 1.4 φιλοσόφῳ συνῴκισεν. ἐπαρίστερ’ ἔμαθες, ὦ πονηρέ, γράμματα· ἀνατέτροφέν
book 1.5 σου τὸν βίον τὰ βυβλία. πεφιλοσόφηκας γῇ τε κοὐρανῷ λαλῶν,[ln_10]οἷς οὐδέν ἐστιν ἐπιμελὲς τῶν σῶν λόγων.
book 2.1 ὁ Πανταλέων μὲν αὐτὸς αὑτοὺς
book 2.2 τοὺς ξένους
book 2.3 τούς τ’ ἀγνοοῦντας αὐτὸν ἐπλάνα, καὶ σχεδὸν ἀπεκραιπάλα τὰ πλεῖστα
book 2.4 τοῦ γελάσαι χάριν, ἰδίαν
book 2.5 τιν’ αὑτῷ θέμενος ἀδολεσχίαν.